πλευραὶ ὑποτείνουσιν· ἴση ἄρα ἡ ὑπὸ ΑΓΒ γωνία τῇ ὑπὸ
ΓΒΔ· καὶ ἐπεὶ εἰς δύο εὐθείας τὰς ΑΓ ΒΔ εὐθεῖα ἐμπίπτουσα
ἡ ΒΓ τὰς ἐναλλὰξ γωνίας ἴσας ἀλ-
λήλας πεποίηκεν· παράλληλος ἄρα ἐστὶν ἡ ΑΓ τῇ
ΒΔ· ἐδείχθη δὲ αὐτῇ καὶ ἴση· αἱ ἄρα τὰς ἴσας τε καὶ πα-
ραλλήλους ἐπὶ τὰ αὐτὰ μέρη ἐπιζευγνύουσαι εὐθεῖαι καὶ
αὐταὶ ἴσαι τε καὶ παράλληλοί εἰσιν· ὅπερ ἔδει δεῖξαι:~

ἀπὸ τοῦ κζ

λδ

Τῶν παραλληλογράμμων χωρίων αἱ ἀπεναντίον πλευ-
ραί τε καὶ γωνίαι ἴσαι ἀλλήλαις εἰσίν· καὶ ἡ διάμετρος αὐτὰ
δίχα τέμνει· ἔστω παραλληλόγραμμον χωρίον τὸ ΑΓΔΒ·
διάμετρος δὲ αὐτοῦ ἡ ΒΓ· λέγω ὅτι τοῦ ΑΓΔΒ παραλ-
ληλογράμμου αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴ-
σαι ἀλλήλαις εἰσί· καὶ ἡ ΒΓ διάμετρος αὐτὸ δίχα τέμνει·
ἐπεὶ γὰρ παράλληλός ἐστιν ἡ ΑΒ τῇ ΓΔ καὶ εἰς αὐτὰς ἐμ-
πέπτωκεν εὐθεῖα ἡ ΒΓ· αἱ ἐναλλὰξ γωνίαι αἱ ὑπὸ ΑΒΓ
ΒΓΔ ἴσαι ἀλλήλαις εἰσί· πάλιν ἐπεὶ παράλληλός ἐστιν
ἡ ΑΓ τῇ ΒΔ καὶ εἰς αὐτὰς ἐμπέπτωκεν ἡ ΒΓ· αἱ ἐναλ-
λὰξ γωνίαι αἱ ὑπὸ ΑΓΒ ΓΒΔ ἴσαι ἀλλήλαις εἰσί· δύο δὴ
τρίγωνά ἐστι τὰ ΑΒΓ ΒΓΔ τὰς δύο γωνίας τὰς ὑπὸ
ΑΒΓ ΒΓΑ δυσὶ ταῖς ὑπὸ ΒΓΔ ΓΒΔ ἴσας ἔχοντα ἑκατέ-
ραν ἑκατέρᾳ καὶ μίαν π-
λευρὰν μιᾷ πλευρᾷ
ἴσην τὴν πρὸς ταῖς ἴ-
σαις γωνίαις κοινὴν
αὐτῶν τὴν ΒΓ· καὶ τὰς
λοιπὰς ἄρα πλευρὰς

ἀντιστροφή [illegible]

ἀπὸ τοῦ κθ

ἀπὸ τοῦ κϛ



ΝΖ

α

25

ταῖς λοιπαῖς ἴσας ἕξει ἑκατέραν ἑκατέρᾳ καὶ τὴν λοιπὴν
γωνίαν τῇ λοιπῇ γωνίᾳ· ἴση ἄρα ἡ μὲν ΑΒ πλευρὰ
τῇ ΓΔ· ἡ δὲ ΑΓ τῇ ΒΔ· καὶ ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑ-
πὸ ΓΔΒ· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΑΒΓ γωνία τῇ ὑ-
πὸ ΒΓΔ· ἡ δὲ ὑπὸ ΓΒΔ τῇ ὑπὸ ΑΓΒ· ὅλη ἄρα ἡ ὑπὸ
ΑΒΔ ὅλῃ τῇ ὑπὸ ΑΓΔ ἐστὶν ἴση· ἐδείχθη δὲ καὶ ἡ ὑπὸ
ΒΑΓ τῇ ὑπὸ ΓΔΒ ἴση· τῶν ἄρα παραλληλογράμμων
χωρίων αἱ ἀπεναντίον πλευραί τε καὶ γωνίαι ἴσαι ἀλ-
λήλαις εἰσί· λέγω δὴ ὅτι καὶ ἡ διάμετρος αὐτὰ δίχα
τέμνει· ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ΑΒ τῇ ΓΔ κοινὴ δὲ ἡ ΒΓ·
δύο δὴ αἱ ΑΒ ΒΓ δυσὶ ταῖς ΓΔ ΒΓ ἴσαι εἰσὶν ἑκατέρα
ἑκατέρᾳ· καὶ γωνία ἡ ὑπὸ ΑΒΓ γωνίᾳ τῇ ὑπὸ
ΒΓΔ ἴση· καὶ βάσις ἄρα ἡ ΑΓ τῇ ΔΒ ἐστὶν ἴση· καὶ τὸ
ΑΒΓ ἄρα τρίγωνον τῷ ΒΓΔ τριγώνῳ ἴσον ἐστίν·
ἡ ἄρα ΒΓ διάμετρος δίχα τέμνει τὸ ΑΒΓΔ παραλ-
ληλόγραμμον· ὅπερ ἔδει δεῖξαι:~

ἀπὸ τοῦ δ

λε

Τὰ παραλληλόγραμμα τὰ ἐπὶ τῆς αὐτῆς βάσεως ὄν-
τα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, ἴσα ἀλλήλοις ἐστίν·
ἔστω παραλληλόγραμμα τὰ ΑΒΓΔ ΕΒΓΖ ἐπὶ τῆς αὐ-
τῆς βάσεως τῆς ΒΓ καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις
ταῖς ΑΖ ΒΓ· λέγω ὅτι
ἴσον ἐστὶ τὸ ΑΒΓΔ τῷ
ΕΒΓΖ· ἐπεὶ γὰρ πα-
ραλληλόγραμμόν ἐστι
τὸ ΑΒΓΔ ἴση ἐστὶν ἡ
ΑΔ τῇ ΒΓ· διὰ τὰ αὐ

ἀπὸ τοῦ λδ

[illegible]



BIBLIOTHECA BODLEIANA